καὶ νῦν τάλας ναυαγὸς ἀπολέσας φίλους
ἐξέπεσον ἐς γῆν τήνδε· ναῦς δὲ πρὸς πέτρας
πολλοὺς ἀριθμοὺς ἄγνυται ναυαγίων.
τρόπις δ᾽ ἐλείφθη ποικίλων ἁρμοσμάτων,
ἐφ᾽ ἧς ἐσώθην μόλις ἀνελπίστῳ τύχῃ
Ἑλένη τε, Τροίας ἣν ἀποσπάσας ἔχω.
ὄνομα δὲ χώρας ἥτις ἥδε καὶ λεὼς
οὐκ οἶδ᾽· ὄχλον γὰρ ἐσπεσεῖν ᾐσχυνόμην
ὥσθ᾽ ἱστορῆσαι τὰς ἐμὰς δυσχλαινίας,
κρύπτων ὑπ᾽ αἰδοῦς τὰς τύχας. ὅταν δ᾽ ἀνὴρ
πράξῃ κακῶς ὑψηλός, εἰς ἀηθίαν
πίπτει κακίω τοῦ πάλαι δυσδαίμονος.
χρεία δὲ τείρει μ᾽· οὔτε γὰρ σῖτος πάρα
οὔτ᾽ ἀμφὶ χρῶτ᾽ ἐσθῆτες· αὐτὰ δ᾽ εἰκάσαι
πάρεστι ναὸς ἐκβόλοις ἃ ἀμπίσχομαι.
πέπλους δὲ τοὺς πρὶν λαμπρά τ᾽ ἀμφιβλήματα
χλιδάς τε πόντος ἥρπασ᾽· ἐν δ᾽ ἄντρου μυχοῖς
κρύψας γυναῖκα τὴν κακῶν πάντων ἐμοὶ
ἄρξασαν ἥκω τούς γε περιλελειμμένους
φίλων φυλάσσειν τἄμ᾽ ἀναγκάσας λέχη.
μόνος δὲ νοστῶ, τοῖς ἐκεῖ ζητῶν φίλοις
τὰ πρόσφορ᾽ ἤν πως ἐξερευνήσας λάβω.
ἰδὼν δὲ δῶμα περιφερὲς θριγκοῖς τόδε
πύλας τε σεμνὰς ἀνδρὸς ὀλβίου τινός,
προσῆλθον· ἐλπὶς δ᾽ ἔκ γε πλουσίων δόμων
λαβεῖν τι ναύταις· ἐκ δὲ μὴ ἐχόντων βίον,
οὐδ᾽ εἰ θέλοιεν ὠφελεῖν, ἔχοιεν ἄν.
ὠή· τίς ἂν πυλωρὸς ἐκ δόμων μόλοι,
ὅστις διαγγείλειε τἄμ᾽ ἔσω κακά;